2. *Ὁ Εὐριπίδου Ἰόλαος ἐξ ἀδρανοῦς καὶ παρήλικος εὐχῇ τινι νέος καὶ ἰσχυρὸς ἐπὶ τὴν μάχην ἄφνω γέγονεν* (Heracl. 851 sqq.)· *ὁ δὲ τῶν Στωικῶν σοφὸς χθὲς μὲν ἦν αἴσχιστος ἅμα καὶ κάκιστος, τήμερον δ' ἄφνω μεταβέβληκεν εἰς*
F *ἀρετὴν καὶ γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ καὶ κατ' Αἰσχύλον* (fr. 361) *'ἐξ ὀσφυαλγοῦς καὶ ὀδυνοσπάδος λυγροῦ γέροντος' εὐπρεπὴς θεοειδὴς καλλίμορφος.*

58 3. *Καὶ τοῦ Ὀδυσσέως ἡ Ἀθηνᾶ τὴν* | *ῥυσότητα καὶ φαλακρότητα καὶ ἀμορφίαν ἀφῄρηκεν, ὅπως φανείη καλός* (ψ 156, π 172)· *ὁ δὲ τούτων σοφός, οὐκ ἀπολιπόντος τὸ σῶμα τοῦ γήρως ἀλλὰ καὶ* ⟨*κακὰ*⟩ *προσεπιθέντος καὶ προσεπιχώσαντος, μένων κυρτός, ἂν οὕτω τύχῃ, νωδὸς ἑτερόφθαλμος οὔτ' αἰσχρὸς οὔτε δύσμορφος οὔτε κακοπρόσωπός ἐστιν. ὁ γὰρ Στωικὸς ἔρως, ὥσπερ οἱ κάνθαροι λέγονται τὸ μὲν μύρον ἀπολείπειν τὰ δὲ δυσώδη διώκειν, οὕτως τοῖς αἰσχίστοις καὶ ἀμορφοτάτοις ὁμιλῶν, ὅταν εἰς εὐμορφίαν καὶ κάλλος ὑπὸ σοφίας μεταβάλωσιν, ἀποτρέπεται.*

4. *Ὁ παρὰ τοῖς Στωικοῖς κάκιστος, ἂν οὕτω τύχῃ,*
B *πρωῒ δείλης ἄριστος, καὶ καταδαρθὼν ἔμπληκτος καὶ ἀμαθὴς καὶ ἄδικος καὶ ἀκόλαστος καὶ ναὶ μὰ Δία δοῦλος καὶ πένης καὶ ἄπορος αὐθημερὸν ἀνίσταται* [*καὶ*] *βασιλεὺς καὶ πλούσιος καὶ ὄλβιος γεγονώς, σώφρων τε καὶ δίκαιος καὶ βέβαιος καὶ ἀδόξαστος, οὐ γένεια φύσας οὐδ' ἥβην ἐν σώματι νέῳ καὶ ἁπαλῷ, ἀλλ' ἐν ἀσθενεῖ καὶ ἁπαλῇ ψυχῇ καὶ ἀνάνδρῳ καὶ ἀβεβαίῳ νοῦν τέλειον, ἄκραν φρόνησιν, ἰσόθεον διάθεσιν, ἀδόξαστον ἐπιστήμην καὶ ἀμετάπτωτον ἕξιν ἐσχηκώς, οὐδὲν ἐνδούσης πρότερον αὐτῷ τῆς μοχθη-*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403574803/66 UNIVERSITÄT LEIPZIG